ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΠΕΤΡΑΣ ΚΑΙ ΧΕΡΡΟΝΗΣΟΥ

ΠΡΟΣΕΥΧΗΤΑΡΙΟΝ

ἤτοι

ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΡΙΑΔΑ ΔΙΑ ΠΑΣΑΝ ΛΟΙΜΙΚΗΝ ΝΟΣΟΝ

Ο ΜΙΚΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΠΡΟΣΕΥΧΗΤΑΡΙΟΝ

ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ
ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΠΕΤΡΑΣ ΚΑΙ ΧΕΡΡΟΝΗΣΟΥ

ΠΡΟΣΕΥΧΗΤΑΡΙΟΝ

ἤτοι

ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΡΙΑΔΑ
ΔΙΑ ΠΑΣΑΝ ΛΟΙΜΙΚΗΝ ΝΟΣΟΝ

Ο ΜΙΚΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ
ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΝΕΑΠΟΛΙΣ 2021

ΠΕΡΙΕΧΟΜΕΝΑ

Πρόλογος Σεβασμιωτάτου Μητροπολίτου Πέτρας καί Χερονήσου κ. Γερασίμου 7

ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΡΙΑΔΑ ΔΙΑ ΠΑΣΑΝ ΛΟΙΜΙΚΗΝ ΝΟΣΟΝ 15

Ο ΜΙΚΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ 45

ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ 79

ΠΡΟΛΟΓΟΣ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ

Ἀδελφοί μου καί τέκνα ἐν Κυρίῳ ἀγαπητά!

Ἡ Ἁγία μας Ἐκκλησία, ὡς Μητέρα στοργική, πάντοτε ἐνδιαφέρεται γιά τά παιδιά της· τά ἀνατρέφει ὅταν εἶναι μικρά «*ἀρτιγέννητα βρέφη*» μέ τό θρεπτικό καί πνευματικό γάλα τῆς θείας χάριτος γιά νά μεγαλώσουν (Α΄ Πέτρ.2.2) καί νά προχωρήσουν μέ ἀσφάλεια στόν δρόμο τῆς σωτηρίας. Τά συντηρεῖ μέ τά ἅγια Μυστήρια, τά μεγαλώνει μέ τή διδασκαλία τοῦ Εὐαγγελίου, προφυλάσσοντάς τα ἀπό τούς αἱρετικούς, τά ζωογονεῖ μέ τίς προσευχές της καί τά προτρέπει στήν προσευχή, ὡς ἀπαραίτητη προϋπόθεση νά κρατηθεῖ ἀδιάσπαστος ὁ σύνδεσμος τοῦ κάθε μέλους μέ τούς Ἁγίους τῆς Ἐκκλησίας, τήν Παναγία καί τόν Τριαδικό μας Θεό.

Σ΄ αὐτή τήν πνευματική μας πορεία τά ἐμπόδια εἶναι πολλά καί μεγάλα· ἀρρώστιες τοῦ σώματος, πειρασμοί τῆς ψυχῆς, ἐσωτερικές συγκρούσεις καί ἐξωτερικοί κίνδυνοι καί καταιγίδες. Τό σκάφος τῆς ζωῆς κλυδωνίζεται. Τά κύματα ἐγείρονται ἀπειλητικά καί ὁ ἄνθρωπος αἰσθάνεται μόνος· τότε προσπαθεῖ νά πιαστεῖ ἀπό κάπου γιά νά σωθεῖ. Αὐτή τή στιγμή πού δέν βρίσκεται κανείς νά τόν βοηθήσει, σηκώνει τά μάτια τῆς ψυχῆς του πρός τόν Θεόν. Ὄχι στόν ὅποιο ἄγνωστο, ἀφηρημένο θεό, ἀλλά στόν Τριαδικό Θεό τῆς ἀγάπης καί τοῦ ἐλέους καί συγκεκριμένα στόν μόνο πού συμπάσχει μαζί του καί ἔρχεται νά τόν συντρέξει· εἶναι Ἐκεῖνος πού ἔγινε ἄνθρωπος γιά τόν ἄνθρωπο, ὁ Σωτήρας Χριστός. Εἶναι ὁ Ἕνας τῆς Τριάδος καί ἡ Παναγία Μητέρα Του, καθώς καί οἱ Φίλοι τοῦ Θεοῦ, οἱ Ἅγιοί Του.

Ἐπειδή τήν ὥρα αὐτή τῶν συμφορῶν καί τῶν θλίψεων ὁ πονεμένος ἄνθρωπος κυριολεκτικά τά ἔχει χαμένα, μπερδεύει τά λόγια του, δέν ξέρει τί νά πεῖ καί πῶς νά τό πεῖ, ἔρχεται ἡ Ἐκκλησία νά τόν βοηθήσει. Ἔτσι γεννήθηκε ἡ ἀνάγκη συνθέσεως τῶν Παρακλητικῶν Κανόνων.

Πηγή τῆς ἰαματικῆς χάριτος εἶναι ἡ Παναγία Τριάς. Εἶναι ὁ σαρκωθείς Υἱός καί Λόγος τοῦ Θεοῦ *«δι' οὗ τόν Πατέρα ἐγνώκαμεν καί τό Πνεῦμα τό Ἅγιον ἐπεδήμησεν ἐν κόσμῳ»*. Εἶναι ὁ Κύριος Ἰησοῦς Χριστός ὁ μόνος ἰατρός τῶν ψυχῶν καί τῶν σωμάτων, ὁ *«δι' ἡμᾶς τούς ἀνθρώπους καί διά τήν ἡμετέραν σωτηρίαν»* γενόμενος ἄνθρωπος, *«ὅς τάς ἀσθενείας ἡμῶν ἔλαβε καί τάς νόσους ἐβάστασεν»* (Ματ. 8.17). Εἶναι ἡ Ὑπεραγία Θεοτόκος καί οἱ Ἅγιοι. Ὅλων αὐτῶν ἡ ἰαματική χάρη πρωτίστως τῆς Ἁγίας Τριάδος καί τοῦ Κυρίου καί, κατά μέθεξιν, τῆς Κυρίας Θεοτόκου καί τῶν Ἁγίων, ἐγκωμιάζεται στούς ἀπειράριθμους κανόνες τῆς ὑμνογραφικῆς παραγωγῆς. Καί σ' αὐτούς τούς ἱκετηρίους ἤ Παρακλητικούς Κανόνας στρέφεται ὁ λόγος ἐπικλητικά καί παρακλητικά, ὡς ἐκζήτηση ἔμπονη βοηθείας πρός ἐπίτευξη τῆς προσδοκωμένης αἰτήσεως.

Ἡ Ἱερά Μητρόπολή μας, θέλοντας νά βοηθήσει τούς πιστούς στόν πολύπλευρον ἀγώνα τους, ψυχικά καί σωματικά, ἀπεφάσισεν ἐφέτος νά προσφέρει στήν ἀγάπη τους ἕνα δῶρο βοηθητικό, στήν προσευχητική τους κατάρτιση καί

ἀνάγκη. Γνωρίζομε πόσο δύσκολη εἶναι ἡ περίοδος πού διερχόμαστε, μέ τήν πανδημία τῆς λοιμικῆς νόσου. Γι' αὐτό συντάξαμε τό παρόν **Προσευχητάριον**, τὸ ὁποῖο συμπεριλαμβάνει τρεῖς Παρακλητικούς Κανόνες: Ι) *«ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΡΙΑΔΑ, (διά πᾶσαν λοιμικήν νόσον)»*. Τόν Κανόνα συνέταξε ὁ ἐκ τῶν Ἐφημερίων τῆς Ἱερᾶς Μητροπόλεώς μας αἰδεσιμολογιώτατος Πρωτοπρεσβύτερος τοῦ Οἰκουμενικοῦ Θρόνου Εὐάγγελος Παχυγιαννάκης, τόν ὁποῖον εὐχαριστοῦμε ἐνθέρμως γιά τήν ἀφοσίωσή του στήν Ἐκκλησία καί τήν πρόθυμη ἀνταπόκρισή του. 2) Τόν *«ΜΙΚΡΟΝ ΠΑΡΑΚΛΗΤΙΚΟΝ ΚΑΝΟΝΑ»* εἰς τήν Ὑπεραγίαν Θεοτόκον» καί 3) Τούς *«ΧΑΙΡΕΤΙΣΜΟΥΣ, εἰς τήν Ὑπεραγίαν Θεοτόκον»*.

Ἀγαπητοί μου, ὁ σημερινός ἄνθρωπος μεθυσμένος ἀπό τήν ψευδαίσθηση τῆς αὐτάρκειας, πού τοῦ προσφέρουν τά ἰλιγγιώδη ἐπιτεύγματα τῆς Ἐπιστήμης καί τῆς Τεχνολογίας, πίστεψε ὅτι θά δοθεῖ ἐπιτέλους τέλος στήν ἀρρώστια καί τόν πόνο, μέ τά φάρμακα, τά ἐμβόλια καί τίς διαρκῶς νέες μεθόδους θεραπείας, ποὺ ἀνακαλύπτει. Αὐτό δέν ξέρουμε πότε θά ἐπιτευχθεῖ,

εὐχόμαστε σύντομα. Ξέρουμε, ὅμως, σίγουρα, πώς πλάι σ' αὐτή τή γνώση τοῦ κόσμου ἡ Ἐκκλησία ἔχει τή δική της πρόταση: εἶναι ἡ δύναμη τῆς Προσευχῆς. Νά κάνουμε χρήση αὐτῆς τῆς δυνάμεως ὅλοι, Κλῆρος καί Λαός νά λυπηθεῖ ὁ Πανάγαθος Θεός τά πλάσματά Του καί νά δεχθεῖ τήν ταπείνωση καί τή μετάνοιά μας.

Ἰδιαίτερα, σ' αὐτή τή σύγχρονη λοιμική ἀπειλή, ἡ συλλογική Προσευχή τῶν πιστῶν τῆς Ἐκκλησίας εἶναι ἀπαραίτητη, ὥστε νά διαφυλαχθεῖ ἡ ἑνότητα καί νά στηριχθοῦν στήν πίστη οἱ δοκιμαζόμενοι ἀδελφοί μας, μένοντας σταθεροί στίς παραδόσεις καί στά ἀπό αἰώνων θέσμια τῆς Λειτουργικῆς Παραδόσεως τῆς Ἐκλησίας μας.

Ὅμως, γιά τήν ποιότητα τῆς Προσευχῆς, ἄς προσέξουμε τί μᾶς λέγει ὁ Ἅγιος Ἰωάννης ὁ Χρυσόστομος: *«Ἡ Προσευχή εἶναι ὅπως ἀκριβῶς ἕνα ἰσχυρό δένδρο, πού ἔχει ἁπλωμένη τή ρίζα του βαθιά μέσα στή γῆ καί σφίγγει τό χῶμα της καί ἀντιστέκεται σέ κάθε ὁρμή τῶν ἀνέμων, ἐνῶ ἐκεῖνο πού ἔχει τίς ρίζες του στήν ἐπιφάνεια τῆς γῆς, μόλις φυσήξει ἕνα μικρό ἀεράκι κλονίζεται καί σωριάζεται στή γῆ· τό ἴδιο συμβαίνει καί μέ*

τήν προσευχή· ἐκείνη πού βγαίνει ἀπό τά βάθη τῆς ψυχῆς καί ἀνεβαίνει ἀπό τά κάτω πρός τά ἐπάνω καί ἄν ἀκόμη ἐμφανισθοῦν ἀμέτρητες ἀρνητικές σκέψεις, καί ἄν ἀκόμη ὁρμήσει ὁλόκληρη ἡ παράταξη τοῦ διαβόλου, παραμένει ἀκατάπαυστη καί ἀμετάτρεπτη, χωρίς νά ὑποχωρεῖ». Αὐτή ἡ προσευχή, πού βγαίνει καθαρή μέ πίστη ζωντανή ἀπό τά βάθη τῆς καρδιᾶς μας, εἶναι ἰσχυρή καί βεβαία.

Μέ αὐτές τίς πατρικές σκέψεις παραδίδομε αὐτό τό μικρό Προσευχητάριο στήν ἀγάπη σας, μέ τήν εὐχή νά λυπηθεῖ ὁ Χριστός τά πλάσματά Του καί νά ἐπέμβει ἐλεητικά, γιατί ὁ κόσμος ὁδηγεῖται σέ σύγχυση καί σέ φοβερά ἀδιέξοδα. Ἡ Ἐκκλησία μας προτρέπει τούς πιστούς νά διαβάζουν καθημερινά τόν *ΠΑΡΑΚΛΗΤΙΚΟ ΚΑΝΟΝΑ καί τούς ΧΑΙΡΕΤΙΣΜΟΥΣ* στήν Παναγία, νά τούς συντρέχει στίς καθημερινές *«περιστάσεις τοῦ βίου καί ἀνάγκαις»*. Σέ ὅλες τίς περιπτώσεις ἡ Παναγία εἶναι ἡ *«Φωτοδόχος λαμπάδα»* πού ὁδηγεῖ τούς ἐν σκότει στό φῶς τῆς ζωῆς καί στή χαρά τῆς Ἀναστάσεως.

Ἔτσι καί στήν καθημερινή μας ζωή, πορευόμεθα μέσα στό τρικυμισμένο πέλαγος τοῦ βίου

μέ χαρμολύπη. Χρέος μας εἶναι νά ἐργαζόμαστε *«ἐν εἰρήνῃ τό ἀγαθόν»* (Ρωμ. 2.10) καί νά ζητᾶμε μέ τή σταθερή προσευχή μας, μέσα ἀπό τή γνήσια καί ἀταλάντευτη πίστη μας, τή χάρη τοῦ Θεοῦ καί τίς πρεσβεῖες τῶν Ἁγίων καί τῆς Θεοτόκου, πού ὁλοκληρώνουν καί ἐγγυῶνται τή σωτηρία μας καί τή σωτηρία τοῦ κόσμου.

Μετά πατρικῶν εὐχῶν καί εὐλογιῶν

Ὁ Μητροπολίτης
† ὁ Πέτρας καί Χερρονήσου
Γεράσιμος

ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΡΙΑΔΑ ΔΙΑ ΠΑΣΑΝ ΛΟΙΜΙΚΗΝ ΝΟΣΟΝ

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα τοῦ ρμβ΄ (142) ψαλμοῦ.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Ἁγία Τριάς, 17ος αἰ., Ἱ. Μονή Ἀρετίου

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοί ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Καὶ εὐθὺς τὸ· **Θεὸς Κύριος,** ἐξ ὑπαμοιβῆς, ὡς συνήθως, μετὰ τῶν στίχων·

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Καὶ τὰ τροπάρια·

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ἡ παντουργὸς καὶ συμφυὴς Θεαρχία,* φιλανθρωπίας ὁ ἀκένωτος πλοῦτος,* τῆς πανδημίας λύσιν τῶν δεινῶν* δίδου τοῖς προσπίπτουσι*

σῇ ἁγίᾳ εἰκόνι* σβεννύουσα καύσωνα* φοβερᾶς ἀρρωστίας,* καὶ πειρασμῶν καὶ ζάλης καὶ φθορᾶς* ἡμᾶς ἀπάλλαττε ὡς ὑπεράγαθος.

Δόξα. Ἦχος ὁ αὐτός.

Οἱ ἁμαρτήμασι πολλοῖς πεπτωκότες,* ψυχῇ καὶ σώματι καὶ νῷ μολυνθέντες* ἐν συντριβῇ καρδίας νῦν προσπέσωμεν* κράζοντες· βοήθησον,* ὦ Τριὰς Παναγία,* Ἄναρχε, Ἀείφωτε Πάτερ, Λόγε καὶ Πνεῦμα,* καὶ πειρασμῶν καὶ βλάβης καὶ δεινῶν* καὶ πάσης λύμης καὶ φόβου λυτρώσασθε.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,* τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·* εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,* τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων,* τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;* Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·* σοὺς γὰρ δούλους σῴζεις ἀεὶ* ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ Ψαλμός.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ραντιεῖς μὲ ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·

ΤΡΙΑΣ ΑΓΙΑ
ΣΩΣΟΝ ΚΙΝΔΥΝΕΥΟΝΤΑ ΚΟΣΜΟΝ.
Ποίημα, Εὐαγγέλου.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄.
Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Τριάς ἡ Ἁγία καὶ σωστικὴ,* τὸ στόμα μου πλήρου* καὶ καταύγασόν μου τὸν νοῦν*, ὅπως τῷ φωτί σου ἀναβλέψω* καὶ σωτηρίας τυχεῖν κἀμέ ποίησον.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ῥοὰς τῶν δακρύων μου ἐκτενῶς* Τριάδι τῇ θείᾳ* νῦν προσφέρω, σὺν τῷ Πατρὶ* καὶ Πνεύματι θείῳ ἱκετεύω* σὺν τῷ Υἱῷ, ὅπως ἵλεῳ γένωνται.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἰλὺς τῶν παθῶν μου φθοροποιῶν* ἐκύκλωσε πᾶσαν* τὴν ψυχὴν μου τὴν ζοφεράν·* διὸ, ὦ

Τριὰς μου Παναγία,* τῶν παρά φύσιν κακῶν ἐλευθέρωσον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ἁγνὴ ἀειπάρθενε, σὸν Υἱὸν* ἱκέτευσον, Κόρη,* Ὃν ἐγέννησας ἐκ Πατρὸς* τῇ Πνεύματος Θείου ἐπινεύσει,* ἐπιτυχεῖν θείας δόξης τὸν δείλαιον.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Στεναγμοὺς ἀλαλήτους* ἐμῆς ψυχῆς ἄκουσον* καὶ ἐκ τῶν πολλῶν οἰκτιρμῶν σου* στέρξον, βοήθησον* καὶ ῥῦσαι, Δέσποτα,* τῆς λοιμικῆς ταύτης νόσου* πάντας τοὺς ὑμνοῦντάς σε* Θεὸν καὶ Κύριον.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ἀπορία καὶ ζάλη* καὶ λογισμῶν σύγχυσις* νῦν ἐπικρατοῦσιν ἐν κόσμῳ,* εὔσπλαγχνε, Κύριε·* διὸ ἐκδίωξον* τὴν λοιμικὴν ἀῤῥωστίαν* ἱλασμὸν αἰτούμενοι* θείῳ ἐλέει σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Γυμνωθέντες ἐξ ἔργων* τῶν ἀγαθῶν ἄκουσον,* Κύριε τῆς δόξης καὶ κόσμου,* πάντας ἐλέησον* καὶ πάλιν δὸς ἡμῖν* πρώτην στολὴν ἀφθαρσίας,* ἥν φθόνῳ τοῦ ὄφεως ἐξαπωλέσαμεν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ἱκετεύομεν πάντες·* τὸν τῶν δεινῶν κλύδωνα* νῦν καταλαβόντα τὸν κόσμον* παῦσον, Πανάχραντε,* καὶ νόσων λύτρωσαι* καὶ λοιμικῶν ἀλγηδόνων* τοὺς σὲ μεγαλύνοντας,* Θεομακάριστε.

Διάσωσον,* Τριὰς Ἁγία, ἐκ πάσης βλάβης* καὶ λοιμικῆς ἀσθενείας τοὺς δούλους σου·* τῇ σῇ γὰρ ἐλπίζομεν εὐσπλαγχνίᾳ.

Ἐπίβλεψον* ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,* ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν* καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις ὑπὸ τοῦ ἱερέως καὶ τὸ Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Ἐκ πόθου ψυχῆς* προστρέχομεν τῇ σκέπῃ σου,* ὦ Παναγία Τριάς*, αἰτούμενοι συγχώρησιν* καὶ τῶν πταισμάτων ἐκλύτρωσιν·* Σοὶ γὰρ μόνῳ Θεῷ ἁμαρτάνομεν,* ἀλλά καὶ σοὶ μόνῳ λατρεύομεν* καὶ αἶνόν σοι θεῖον ἀναφέρομεν.

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ἀλγηδόνων ἀπάλλαξον* κατακαμπτομένη ἡμῶν δεήσεσι* καὶ ἐκ πάσης περιστάσεως,* ὦ Τριὰς Ἁγία, ἐλευθέρωσον.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Σωτηρίαν τῷ κόσμῳ σου* ἐν παντὶ παράσχου καὶ ἀναχαίτισον* λοιμικὴν νόσον καὶ ἴασαι* ὁ ἐλθὼν τοῦ σῶσαι τὸ ἀνθρώπινον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὦ Τριὰς παντοδύναμε,* ἐπὶ τὸν λαόν σου πάντα σπλαγχνίσθητι* καὶ τὴν λύπην νῦν μετάβαλε* εἰς χαρὰν οὐράνιον, φιλάνθρωπε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Σαῖς λιταῖς, Παναμώμητε,* σὸν Υἱὸν δυσώπει καὶ μεταποίησον* τὴν παροῦσαν νῦν δυσχέρειαν* εἰς χαρὰν Κυρίου τὴν σωτήριον.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὅλον μου τὸν νοῦν* καθυπέταξα τοῖς πάθεσι*, ἀλλ' ἀνύσας νῦν συγχώρησιν ζητῶ* καὶ τῆς νόσου λοιμικῆς τὴν ἀπομάκρυνσιν.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Νόσος φοβερὰ* νῦν τῷ κόσμῳ πεφανέρωται,* ἀλλ' ἐλπίζομεν τῷ πλήθει οἰκτιρμῶν* σοῦ ἐλέους καὶ ἀγάπης, ὑπεράγαθε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καῦσον τὰς πικρὰς* ἀκανθῶν ὀδύνας, Κύριε,* Παντοδύναμε, Πανάγαθε Θεέ,* καὶ ἐχθρὸν τῆς πανδημίας ἐξαφάνισον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ἴδε τὸν ἐχθρὸν* δυσμενῶς ἐπιτιθέμενον* ὡς λοιμὸν πανσαρκοβόρον εἰς ἡμᾶς·* διὸ, Ἄχραντε, ταῖς πρεσβείαις σου διάλυσον.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Νηστείᾳ τε καὶ κλαυθμῷ καὶ δάκρυσιν* ὁ προάναρχος Θεὸς ἐξιλεοῦται* καὶ πάσης βλάβης ἡμᾶς, εὐχαρίστως,* ἐξ ἀσθενείας πικρᾶς καὶ φλογώσεως* ἀφίεται ὡς ἀγαθὸς* συγχωρῶν τὰ ἡμῶν πλημμελήματα.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Διάσωσον ἐκ μωλώπων, Κύριε,* τὴν ἡμῶν ἐπικρατοῦσαν ἐν κόσμῳ* πανδυστυχῆ ἐκ λοιμοῦ ἀτονίαν* καὶ ἐκ τοῦ φόβου αὐτοῦ ἐξαπλώσεως* καὶ ἴασαι ὡς ἰατρὸς* τὴν ἡμῶν κακοπάθειαν, ἔνδοξε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὑμνοῦμέν σε τὴν Τριάδα, ἄναρχον* τὸν Πατέρα, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα,* καὶ σοὶ προσπίπτομεν φόβῳ ἐν πίστει* ἐκ τοῦ λοιμοῦ χαλεποῦ ἡμᾶς ῥύσασθαι,* ὥστε δοθῆναι τοῖς πιστοῖς* τὴν κατ' ἄμφω ὑγιείαν σῇ χάριτι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ναμάτων πρεσβευτικῶν γινώσκοντές* σε, πανύμνητε, Ἁγνή Παναγία,* χρυσοπλοκώτατον Θρόνον Κυρίου* καὶ τοῦ ἀΰλου πυρὸς ὁπλοστάσιον* βοήθησον, ὥστε ἡμᾶς* λυτρωθῆναι λοιμοῦ κινδυνεύοντας.

Διάσωσον* Τριὰς Ἁγία, ἐκ πάσης βλάβης* καὶ λοιμικῆς ἀσθενείας τοὺς δούλους σου·* τῇ σῇ γὰρ ἐλπίζομεν εὐσπλαγχνίᾳ.

Ἄχραντε,* ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύστως* ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,* ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ **Κοντάκιον.**

Ἦχος β΄. **Τοῖς τῶν αἱμάτων σου.**

Τῆς εὐσπλαγχνίας σου δεῖξον τὸ πέλαγος* καὶ πάντας σῶσον, οἰκτείρησον, Κύριε,* παραμυθίαν ἔχοντάς Σε ἐν θλίψεσι·* διό σου εὐχαριστίᾳ πολλῇ* τὴν χάριν κηρύττομεν.

Προκείμενον. Ἦχος δ΄.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Στίχος· *Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.*

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. 8. 14-18)

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου εἶδεν τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν· καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός, καὶ ἠγέρθη καὶ διηκόνει αὐτῷ. Ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς· καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν, ὅπως πληρωθῇ τὸ ῥηθὲν

διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασεν.

Δόξα σοι, Κύριε, Δόξα σοι.

Δόξα Πατρί.

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. **Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

Στίχος· *Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ὅλην ἀπεθέμεθα* ψυχὴν καὶ νοῦν τε καὶ σῶμα* πόθους κατανύξεως,* ἱερῶν ἐρώτων δὲ* τὴν εὐγένειαν· ὡς καρπὸν εὔθετον* τὴν σεπτὴν Τριάδα* εὐλαβῶς παρακαλοῦμεν δὲ* καὶ μετὰ θλίψεως* νῦν ἐκδυσωποῦμεν τὴν ἄφατον* Αὐτῆς χαρὰν ἀγήνορα* βίου καὶ δεινῶν περιστάσεων,*

ἵνα διορθώσῃ* πρὸς δρόμους παμφαεῖς τῶν ἀρετῶν* καὶ ἀπαλλάξῃ πειρασμικῶν* καὶ ἀδίκων πράξεων.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ἐπὶ σοὶ τῷ Δεσπότῃ* τοῦ παντὸς χορηγοῦντι* ζωὴν ἐλπίζομεν* παντοίας ἐπηρείας* λοιμοῦ θανατηφόρου *λυτρωθῆναι τοὺς ψάλλοντας·* Ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς εὐλογητὸς εἶ.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὑμνητὰς ἡμᾶς δέξαι* τῆς Ἁγίας Τριάδος τὸ δημιούργημα* καὶ πρόφθασον ἐκ λύμης* καὶ σῶσον τοὺς σοὺς δούλους* τοὺς ἐν πίστει κραυγάζοντας·* Ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς εὐλογητὸς εἶ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὁ ἀφάτῳ προνοίᾳ* ἐκ μὴ ὄντος τὸν κόσμον* ἐδημιούργησε,* Θεὸς ὁ Παντοκράτωρ,* πρὸς Ὃν ἐν κατανύξει* σῶσον, βοῶμεν ἐκ πίστεως·* Ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Νηπιόφρονα γνώμην* ὁ ταλαίπωρος ἔχων * πράττων οὐ παύομαι* ψυχῆς τὰ ἐναντία·* διὸ παρακαλῶ σε,* ὦ Παρθένε, κραυγάζων σοι·* μὴ ἐπιλάθῃ ἡμῖν* Υἱῷ σου μεσιτεῦσαι.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Τάχυνον, σπεῦσον* ἐπὶ σὲ, μόνε Οἰκτίρμον,* πεποιθότες σοὶ κραυγάζομεν· σῶσον,* ῥῦσαι ἡμᾶς, Σῶτερ,* λοιμοῦ τοῦ παναθλίου.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ἄφατον κλέος,* ὦ Τρισαγία Θεότης,* σοὶ προσπίπτομεν πόθῳ βοῶντες·* ῥῦσαι ἡμᾶς, Σῶτερ,* πάσης λοιμώδους βλάβης.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Κοίμησον τάχει,* ὦ Τρισαγία Θεότης,* ψυχικάς μου ὁρμὰς καὶ ὀρέξεις·* καὶ ὁδήγησόν με* πρὸς φῶς θεογνωσίας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ὁ πᾶσαν κτίσιν* ἡνιοχῶν καὶ προσφέρων* τὴν ζωὴν καὶ τὸ κάλλος ἀνθρώποις* πάλαι ἐβαστάχθη* ἀγκάλαις σαῖς, Παρθένε.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Σῶμα, ψυχὴν καὶ πνεῦμα* ἐμόλυνα, Σῶτερ,* καὶ ἡδονῶν τῇ ἰλύι ἐσπήλωσα·* ἀλλ' ἐξαιτοῦμαι σὴν χάριν,* ὅπως ῥυσθήσομαι.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Μεμολυσμένος ὅλος* ὑπάρχων, Οἰκτίρμον,* οἰκτρᾷ φωνῇ τοῦ οἰκέτου κραυγάζω σοι·* ῥῦσαι λαὸν ἐκ κινδύνου* φρικτῆς λοιμώξεως.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὄμβρησόν μοι ῥανίδα,* ὦ Τριὰς Ἁγία,* ὁ κόσμος ὅλος ἐν θλίψει κραυγάζει σοι·* ῥῦσαι ἡμᾶς τῆς λυθρώδους* δεινῆς κακώσεως.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Νύμφη Θεοῦ, Παρθένε,* λοιμοῦ, λιμοῦ, πυρός τε* καὶ ἐμφυλίου πολέμου ἐκλύτρωσαι* καὶ πᾶσι τοῖς ἀσθενοῦσιν* ἴασιν δώρησαι.

Καὶ τὰ παρόντα **Μεγαλυνάρια.**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν σε τὴν Θεοτόκον* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν·* τὴν τιμιωτέραν τῶν Χερουβεὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφείμ,* τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον* σὲ μεγαλύνομεν.

Ὦ Θεὲ τῶν ὅλων καὶ Παντουργὲ,* Τριὰς Παναγία,* τοῖς προσώποις διαιρετὴ,* τῇ οὐσίᾳ μία,* Πατὴρ Υἱὸς καὶ Πνεῦμα,* οἰκτείρησον καὶ σῶσον* τοὺς προσκυνοῦντάς σε.

Ἄναρχε, Τρισήλιε ὦ Θεέ,* αἰτία τῶν πάντων* καὶ τοῦ χρόνου δημιουργέ,* χαρίτωσον κύκλους*

ἐτῶν εὐλογημένων* καὶ δὸς μοι Παραδείσου* ζωὴν τὴν ἄληκτον.

Τὰς ἀκτινοβόλους σου ἀστραπὰς* λάμψόν μοι, Θεέ μου,* ὦ Τρισήλιε Παντουργὲ,* καὶ οἶκόν με δεῖξον* τῆς θείας εὐφροσύνης,* φαιδρὸν καὶ φωτοφόρον* υἱὸν σῆς χάριτος.

Δεῦτε ἀνυμνήσωμεν οἱ πιστοί* Τριάδα Ἁγίαν,* τὸν Πατέρα καὶ τὸν Υἱὸν* καὶ Πνεῦμα τὸ Θεῖον,* ἄκτιστον μίαν φύσιν* καὶ μίαν Βασιλείαν,* Τρισὶν δ' ὑποστάσεσιν.

Φύλαττε τοὺς δούλους σου ἀσινεῖς* μακρὰν πάσης βλάβης* καὶ κινδύνων ὀδυνηρῶν,* ὦ Τριὰς Ἁγία,* τοῦ κόσμου σωτηρία* καὶ τῶν ἐν θλίψει ὄντων* στερρὸν προσφύγιον.

Νῦν παρακαλοῦμέν σε ἐκτενῶς,* Τριὰς Παναγία·* διαφύλαξον σὸν λαὸν* πάσης ἀσθενείας* καὶ φόβου καὶ μανίας* ἰοῦ τῆς ἀπωλείας* τοῦ παναλάστορος.

Δόξα σοι κραυγάζομεν οἱ πιστοὶ,* Τριὰς Παναγία,* ἡ τῶν πάντων συνεκτικὴ,* δύναμις τῶν πάντων,* Ἀγγέλων χαρμοσύνη,* δόξα τῶν Ἀποστόλων,* Ἁγίων καύχημα.

Δόξα τῷ Πατρί τε καὶ τῷ Υἱῷ* καὶ Πνεύματι Θείῳ,* τῇ Τριάδι τῇ ἀληθεῖ·* μόνη γὰρ ὑπάρχει* τοῦ κόσμου σωτηρία* πᾶσαν τὴν δυσπραγίαν* ἀποδιώκουσα.

Θεοτοκίον.

Ὡς βρέφος ἐβάστασεν ἡ Ἁγνή* Χριστὸν τὸν Σωτῆρα* τὸν λαβόντα σάρκα θνητὴν,* ἣν ἀφθαρτισθεῖσαν* ἐζώωσε καὶ ταύτην* εἰς οὐρανοὺς ἀνήγαγε* καὶ διέσωσεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ Δωδεκὰς,* οἱ Ἅγιοι Πάντες* μετά τῆς Θεοτόκου* ποιήσατε πρεσβείαν* εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ, τό **Τροπάριον.**
Ἦχος β΄. Εὐσπλαχνίας.

Εὐσπλαγχνίας ἐλέους, Ἀγαθή,* φιλανθρώπου προνοίας τὸ πέλαγος,* βλέψον εἰς λαὸν τὸν

ἁμαρτήσαντα,* δεῖξον τὴν πολλὴν φιλευσπλαγχνίαν σου·* εἰς σὲ γὰρ ἐλπίζομεν,* Τριὰς Ἁγία, πρόφθασον* καὶ ῥῦσαι πάσης ἀπειλῆς* τοὺς ἐκβοῶντας· δόξα τῷ κράτει σου.

Ἐκτενής.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.
Κύριε, ἐλέησον *(τρίς).*

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν χριστιανῶν.
Κύριε, ἐλέησον *(τρίς).*

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν Γερασίμου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Κύριε, ἐλέησον *(τρίς).*

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, διαφυλάξεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (ἢ χώρᾳ ἢ κώμῃ) καὶ

νήσῳ ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν, ἀφιερωτῶν, διακονούντων καὶ διακονησάντων, κοπιώντων καὶ ψαλλόντων ἐν τῷ ἁγίῳ ναῷ τούτῳ.
Κύριε, ἐλέησον *(τρίς).*

Ἔτι δεόμεθα ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένης· καὶ ὑπὲρ τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ ὄντων, ὑπὲρ τῶν νοσούντων, καμνόντων καὶ ἐν ἀσθενείαις κατακειμένων, ὅπως τῆς παρὰ τοῦ Κυρίου ταχείας ἰάσεως τύχωσι καὶ ὑπὲρ σωτηρίας τῶν ψυχῶν καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν.
Κύριε, ἐλέησον *(τρίς).*

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν θεραπόντων ἰατρῶν, νοσηλευτῶν, νοσηλευτριῶν, νοσοκόμων, ὑπὲρ παντὸς τοῦ ἰατρικοῦ, ἐπιστημονικοῦ, διδακτικοῦ, διοικητικοῦ, νοσηλευτικοῦ καὶ ὑγειονομικοῦ προσωπικοῦ, καὶ πάντων τῶν βοηθῶν καὶ συνεργατῶν αὐτῶν, τῶν διακονούντων ἐν τοῖς νοσοκομείοις, κλινικαῖς, νοσηλευτικοῖς ἱδρύμασιν, ἰατρικαῖς σχολαῖς, ἰατρικοῖς ἐργαστηρίοις καὶ

λοιπαῖς δομαῖς ὑγείας, ὅπως Κύριος ὁ Θεὸς ἡμῶν τηρήσῃ αὐτοὺς ὑγιαίνοντας καὶ ἀπροσίτους ἀπὸ ἐναντίων δυνάμεων, εὐλογήσῃ δέ, ἐνισχύσῃ καὶ ἱκανώσῃ αὐτοὺς πρὸς ἐπιτυχῆ ἐπιτέλεσιν τοῦ κοινωφελοῦς καὶ θεαρέστου ἔργου αὐτῶν.

Κύριε, ἐλέησον *(τρίς).*

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν πόλιν (ἢ χώραν ἢ κώμην) καὶ νῆσον ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης ἡμῖν δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Κύριε, ἐλέησον *(40).*

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Κύριε, ἐλέησον *(τρίς).*

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς.

Καὶ, ἡ ἐκφώνησις.

Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα, ἡ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Αἶνον ἀναμέλψωμεν πιστοί* τῷ Θεῷ καὶ Λόγῳ Σωτῆρι* καὶ εὐεργέτῃ Χριστῷ,* ὅτι κατεδέξατο* ἐνανθρωπῆσαι ἡμῖν·* ὑποστὰς τὴν ταπείνωσιν* Σταυροῦ δὲ τῷ πάθει* στερῥῶς προσωμίλησεν* δι' ἁμαρτίας ἡμῶν·* ὅθεν κατελάμπρυνε πάντων* τῶν ἀνθρώπων ἅπασαν φύσιν* καὶ χαρὰν τῷ κόσμῳ ἐδωρήσατο.

Δέσποινα, πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων σου* καὶ λύτρωσαι ἡμᾶς* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δι' εὐχῶν.

Στίχοι:
Τῷ πλέξαντὶ σοι, ὦ Παναγίᾳ Τριάς,
Τόνδε ἀδόκιμον ἱκέσιον ὕμνον,
Δίδου σὴν χάριν Εὐαγγέλῳ Ἱερεῖ,
Καὶ ὑγιείαν Γερασίμῳ Ἐπισκόπῳ.

ΕΥΧΗ ΠΑΝΥ ΩΦΕΛΙΜΟΣ ΔΙΑ ΠΑΣΑΝ ΛΟΙΜΙΚΗΝ ΝΟΣΟΝ

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, μακρόθυμε καὶ πολυέλεε, ὁ διά τήν πολλήν Σου ἀγαθότητα ποιήσας τόν ἄνθρωπον κατ' εἰκόνα Σήν καὶ ὁμοίωσιν καὶ θεοειδοῦς ἀγωγῆς καὶ ὁμιλίας ὑπερφυῶς καταξιώσας αὐτόν, ὁ ἰατρός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν πρόσχες καί νῦν ἐπί τήν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν καί ἀναξίων δούλων Σου· ῥῦσαι ἡμᾶς ἀπὸ τῆς ἐπελθούσης ἐν τῷ κόσμῳ λοιμικῆς ἀπειλῆς διά τάς ἁμαρτίας ἡμῶν· νόσος γὰρ ἐνέσκηψε δεινή καί φόβος θανάτου ἐκύκλωσεν ἡμᾶς. Πλεῖστοι ἠσθένησαν καί ἱκανοί ἐκ τοῦ λοιμοῦ ἐκοιμήθησαν καί οὐκ ἔστιν ἄλλος ὁ λυτρούμενος ἡμᾶς πλήν Σου, Κύριε.

Οἴδαμεν, ἀγαθέ καὶ φιλάνθρωπε, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν καὶ πᾶσαν ἁμαρτίαν ἐπιμελῶς καθ' ἑκάστην διενεργοῦμεν, γιγνώσκοντες ὅτι πρός νουθεσίαν ἡμῶν ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς· ἀλλά νῦν ἐπιστρέφοντες ἐν μετανοίᾳ καὶ συντριβῇ καρδίας παρακα-

λοῦμεν, κραυγάζοντες· τήν νομήν τοῦ λοιμοῦ ἀνάστειλον, Κύριε, καί πάντα τὸν λαόν Σου ὡς οἰκτίρμων θεράπευσον· τούς δέ θανόντας ἀδελφούς ἡμῶν ἐν ταῖς σκηναῖς Σου ἀνάπαυσον. Εἰρήνην τῇ οἰκουμένῃ δώρησαι, ἵνα γνῶσι πάντες ὅτι Σύ εἶ ὁ Θεὸς ἡμῶν, Θεός τοῦ ἐλεεῖν καὶ σῴζειν καί οἱ πιστεύοντες εἰς Σέ οὐ δεδοίκασι θάνατον, ἀλλὰ χαρᾷ γεύονται τῆς ἀθανάτου ζωῆς.

Ὅτι Σύ εἶ ἡ ἐλπίς ἡμῶν καί εἰς χεῖράς Σου ἡ ζωή ἡμῶν ἅπασα καί Σοί τήν δόξαν καὶ εὐχαριστίαν ἀναπέμπομεν σύν τῷ ἀνάρχῳ Σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ Σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Παντοκράτωρ,
Ἐπισκοπεῖον Νεαπόλεως,
16ος αἰ.

Ἡ Κοίμησις τῆς Ὑπεραγίας Θεοτόκου,
εἰκών τέμπλου Ἱερᾶς Μονῆς Παναγίας
Κρουσταλλένιας Ὀροπεδίου Λασιθίου, ποιηθεῖσα ἐν ἔτει 1872

ΜΙΚΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Ὁ Ἱερεύς:

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός:

Ἀμήν.

Ψαλμὸς ρμβ΄ (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Καὶ εὐθὺς τὸ· **Θεὸς Κύριος,** μετὰ τῶν στίχων·

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα, βοήθησον ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον, ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων, μὴ

ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμὸς ν΄ (50)

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ραντιεῖς μὲ ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσία, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος πλ. δ΄. Ὠδὴ α΄.
Ὁ Εἱρμὸς.

» Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυ-
» πτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνε-
» βόα, τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· Ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Καὶ νῦν καί ἀεί καί εἰς τούς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὠδὴ γ΄.
Ὁ Εἱρμὸς.

» Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ
» τῆς Ἐκκλησίας Δομῆτορ, σὺ με στερέωσον,
» ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης,
» τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ, Θεογεννῆτορ, Παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Διάσωσον, ἀπὸ κινδύνων, τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεόν, εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὁ Ἱερεύς:

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεὸς Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός μεθ' ἑκάστην δέησιν
τό Κύριε ἐλέησον (γ΄)

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεινός) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως των ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χρι-

στιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλῃ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου καί τῶν δούλων τοῦ Θεοῦ, τῶν ἐπιτελούντων τήν ἱεράν παράκλησιν ταύτην μετά τῶν οἰκείων αὐτῶν.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας των αἰώνων.

Ὁ χορός: Ἀμήν.

Κάθισμα, Ἦχος β΄.
Τὰ ἄνω ζητῶν

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα, πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

Ὠδὴ δ΄.
Ὁ Εἱρμὸς.

» Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ
» μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδό-
» ξασά σου τὴν Θεότητα.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων, Θεονύμφευτε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων, τῶν ὑμνούντων σε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἀπολαύοντες, Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης, ἐκλυτρούμεθα.

Ὠδὴ ε΄.
Ὁ Εἱρμὸς.

» Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύ-
» ριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν
» εἰρήνην, παράσχου ἡμῖν φιλάνθρωπε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἔμπλησον, Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης, ἡ γεννήσασα τὸν αἴτιον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων, Θεοτόκε Ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου, Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν, τῇ πρεσβείᾳ σου παράσχου μοι.

Ὠδὴ ς΄.
Ὁ Εἱρμὸς.

» Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγ-
» γελῶ μου τάς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλή-
» σθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγγισε, καὶ δέ-
» ομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς, ὁ Θεός με ἀνάγαγε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν, Παρθένε, δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην, Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διαπαντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι, Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα· Ὦ Δέσποινα, καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου, ἀλλ' ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Διάσωσον, ἀπὸ κινδύνων, τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεόν, εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Ἡ δέησις ὑπό τοῦ Ἱερέως ὡς προγέγραπται.

Κοντάκιον. Ἦχος β΄.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε. Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Προκείμενον

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. (δίς)

Στίχ. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Ὁ Ἱερεύς:

Καὶ ὑπέρ του καταξιωθῆναι ἡμᾶς της ἀκροά - σεως του ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ χορός: Κύριε, ἐλέησον (γ').

Ὁ Ἱερεύς: Σοφία. Ὀρθοῖ, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ Πνεύματί σου.

Ὁ Ἱερεύς: Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου, τὸ Ἀνάγνωσμα.

Πρόσχωμεν.

Ὁ χορός: Δόξα σοι, Κύριε, δόξα σοι.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ

ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρὸς με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου, καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμα μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Ὁ χορός: Δόξα σοι, Κύριε, δόξα σοι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.
Ἦχος β΄.

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄.
Ὅλην ἀποθέμενοι

Μὴ καταπιστεύσῃς με, ἀνθρωπίνῃ προστασίᾳ, Παναγία δέσποινα, ἀλλὰ δέξαι δέησιν, τοῦ ἱκέτου σου· θλίψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα, σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου· Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.

Ἕτερα Θεοτοκία

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε, ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῷζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

Ὁ Ἱερεύς:

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ

ἐν Μύροις τῆς Λυκίας, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου τῆς Πενταπόλεως, τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος, καὶ Θεοδώρου τοῦ Στρατηλάτου καὶ Μηνᾶ τοῦ θαυματουργοῦ, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (ἡμέρας), καὶ πάντων σου τῶν Ἁγίων ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Ὁ χορός: Κύριε, ἐλέησον (ιβ΄)

Ὁ Ἱερεύς:

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ΄ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου

Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὠδὴ ζ΄.

Ὁ Εἱρμὸς.

» Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες,
» ἐν Βαβυλῶνί ποτε, τῇ πίστει τῆς Τριάδος, τὴν
» φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες·
» Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ, οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας, Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας, τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀρρωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστόν, ἡμῖν ἀποτεκοῦσα.

Ὠδὴ η΄.
Ὁ Εἱρμὸς.

» Τὸν Βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι,
» στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυ-
» ψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε, ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε, Κόρη, εἰς αἰῶνας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τῶν ἰαμάτων τὸ δαψιλές, ἐπιχέεις τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν σου τόκον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας, Παρθένε, ἵνα σε δοξάζω τὴν Κεχαριτωμένην.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄.
Ὁ Εἱρμὸς.

» Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ
» σοῦ σεσωσμένοι Παρθένε Ἁγνή, σὺν Ἀσωμά-
» τοις χορείαις, σὲ μεγαλύνοντες.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε, Χριστὸν κυήσασα.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον, Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην, ἐξαφανίσασα.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε, καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη, καὶ ἀγαλλίαμα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον, Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον, σὲ καταγγέλλοντας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα, Παρθένε, θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν, μετασκευάζουσα.

Μεγαλυνάρια

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή, πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην, ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Δέσποινα καὶ μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις, ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα. Ὦ Δέσποινα, τοῦ κόσμου γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοι τὴν ᾠδήν, νῦν τῇ πανυμνήτῳ, Θεοτόκῳ χαρμονικῶς, μετὰ τοῦ

Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει, Θεοτόκε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ἅλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν εἰκόνα σου τὴν σεπτήν, τὴν ἱστορηθεῖσαν, ὑπὸ τοῦ ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον. (ἐκ γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα του Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων. Ἀμήν.

Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν, μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν, ὦς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

Ὁ Ἱερεύς:
Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεὸς Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.
Ὁ χορός μεθ' ἑκάστην δέησιν
τό Κύριε ἐλέησον (γ΄)

Ἔτι δεόμεθα ὑπέρ του Ἀρχιεπισκόπου ἡμῶν (δεινός) καὶ πάσης της ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως των ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλῃ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου καί τῶν δούλων τοῦ Θεοῦ τῶν ἐπιτελούντων τήν ἱεράν παράκλησιν ταύτην μετά τῶν οἰκείων αὐτῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου, ὑπὲρ τὸν ἵλεων, εὐμενῆ καὶ εὐδιάλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καί, διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν

κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γάρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ

Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (τοῦ Ναοῦ) τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τῆς ἡμέρας) καὶ πάντων τὸν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Ἦχος β΄.
Ὅτε ἐκ τοῦ ξύλου

Πάντων προστατεύεις, Ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ κατακαμπτόμενοι ὑπὸ πταισμάτων πολλῶν, Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου· ὅθεν σοι προσπίπτομεν· Ῥῦσαι πάσης περιστάσεως τοὺς δούλους σου.

Ὅμοιον

Πάντων θλιβομένων ἡ χαρά, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφή, ξένων τε

παράκλησις, καὶ βακτηρία τυφλῶν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων σκέπη καὶ ἀντίληψις, καὶ ὀρφανῶν βοηθός, Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου, σὺ ὑπάρχεις, Ἄχραντε, σπεῦσον, δυσωποῦμεν, ῥύσασθαι τοὺς δούλους σου.

Ἦχος πλ. δ΄.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β΄.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ὁ Ἱερεύς:

Δι εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμάς. Ἀμήν.

Ἡ Θεοτόκος Ἔνθρονος, 16ος αἰ.,
Ἐνορία Κρούστα

ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Ἦχος πλ. δ΄. Αὐτόμελον.

Τὸ προσταχθὲν μυστικῶς, λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσήφ, σπουδῇ ἐπέστη, ὁ Ἀσώματος, λέγων τῇ Ἀπειρογάμῳ· Ὁ κλίνας τῇ καταβάσει τοὺς οὐρανούς, χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί. Ὃν καὶ βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφήν, ἐξίσταμαι κραυγάζειν σοι·

Χαῖρε, Νύμφη ἀνύμφευτε!

Ἄγγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τό, Χαῖρε (ἐκ γ΄)· καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα·

Χαῖρε, δι᾽ ἧς ἡ χαρὰ ἐκλάμψει· χαῖρε, δι᾽ ἧς ἡ ἀρὰ ἐκλείψει.

Χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις· χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.

Ἡ Θεοτόκος Ἔνθρονος, 16ος αἰ.,
Ἐνορία Βρυσῶν

Χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς· χαῖρε, βάθος δυσθεώρητον, καὶ Ἀγγέλων ὀφθαλμοῖς.

Χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα· χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.

Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον· χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως.

Χαῖρε, δι᾽ ἧς νεουργεῖται ἡ κτίσις· χαῖρε, δι᾽ ἧς βρεφουργεῖται ὁ Κτίστης.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ Ἁγία, ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ Γαβριὴλ θαρσαλέως· Τὸ παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται· ἀσπόρου γὰρ συλλήψεως τὴν κύησιν πῶς λέγεις; κράζων·

Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι, ἡ Παρθένος ζητοῦσα, ἐβόησε πρὸς τὸν λειτουργοῦντα· Ἐκ λαγόνων ἁγνῶν Υἱόν, πῶς ἐστι τεχθῆναι δυνατόν; λέξον μοι. Πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ, πλὴν κραυγάζων οὕτω·

Χαῖρε, βουλῆς ἀπορρήτου μύστις· χαῖρε, σιγῆς δεομένων πίστις.

Χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον· χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον.

Χαῖρε, κλῖμαξ ἐπουράνιε, δι᾽ ἧς κατέβη ὁ Θεός· χαῖρε, γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς Οὐρανόν.

Χαῖρε, τὸ τῶν Ἀγγέλων πολυθρύλητον θαῦμα· χαῖρε, τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα.

Χαῖρε, τὸ Φῶς ἀῤῥήτως γεννήσασα· χαῖρε, τὸ πῶς, μηδένα διδάξασα.

Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν· χαῖρε, πιστῶν καταυγάζουσα φρένας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Δύναμις τοῦ Ὑψίστου, ἐπεσκίασε τότε, πρὸς σύλληψιν τῇ Ἀπειρογάμῳ· καὶ τὴν εὔκαρπον ταύτης νηδύν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι, τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως·

Ἀλληλούϊα.

Ἔχουσα θεοδόχον, ἡ Παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ· τὸ δὲ βρέφος ἐκείνης εὐθύς, ἐπιγνὸν τὸν ταύτης ἀσπασμόν, ἔχαιρε! καὶ ἅλμασιν ὡς ᾄσμασιν, ἐβόα πρὸς τὴν Θεοτόκον·

Χαῖρε, βλαστοῦ ἀμαράντου κλῆμα· χαῖρε, καρποῦ ἀκηράτου κτῆμα.

Χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον· χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα.

Χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν· χαῖρε, τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν.

Χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις· χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις.

Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα· χαῖρε, παντὸς τοῦ κόσμου ἐξίλασμα.

Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐδοκία· χαῖρε, θνητῶν πρὸς Θεὸν παῤῥησία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων, λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰωσὴφ ἐταράχθη, πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν Ἄμεμπτε· μαθὼν δέ σου τὴν σύλληψιν ἐκ Πνεύματος ἁγίου, ἔφη·

Ἀλληλούϊα.

Ἤκουσαν οἱ Ποιμένες, τῶν Ἀγγέλων ὑμνούντων, τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν· καὶ δρα-

μόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον, ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες, εἶπον·

Χαῖρε, ἀμνοῦ καὶ ποιμένος Μήτηρ· χαῖρε, αὐλὴ λογικῶν προβάτων.

Χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον· χαῖρε, Παραδείσου θυρῶν ἀνοικτήριον.

Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ· χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς.

Χαῖρε, τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα· χαῖρε, τῶν Ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.

Χαῖρε, στερῤῥὸν τῆς Πίστεως ἔρεισμα· χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα.

Χαῖρε, δι᾽ ἧς ἐγυμνώθη ὁ Ἅδης· χαῖρε, δι᾽ ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Θεοδρόμον Ἀστέρα, θεωρήσαντες Μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ· καὶ ὡς λύχνον κρατοῦντες αὐτόν, δι᾽ αὐτοῦ ἠρεύνων κραταιὸν Ἄνακτα· καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν, αὐτῷ βοῶντες·

Ἀλληλούϊα.

Ἴδον παῖδες Χαλδαίων, ἐν χερσὶ τῆς Παρθένου, τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους· καὶ Δεσπότην νοοῦντες αὐτόν, εἰ καὶ δούλου ἔλαβε μορφήν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ Εὐλογημένῃ·

Χαῖρε, ἀστέρος ἀδύτου Μήτηρ· χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας.

Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα· χαῖρε, τῆς Τριάδος τοὺς μύστας φωτίζουσα.

Χαῖρε, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς· χαῖρε, Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν.

Χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας· χαῖρε, ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων.

Χαῖρε, πυρὸς προσκύνησιν παύσασα· χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουσα.

Χαῖρε, πιστῶν ὁδηγὲ σωφροσύνης· χαῖρε, πασῶν γενεῶν εὐφροσύνη.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι, γεγονότες οἱ Μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα· ἐκτελέσαντές σου τὸν χρησμόν, καὶ κηρύξαντές σε τὸν Χριστὸν

ἅπασιν, ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν·

Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ, φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος· τὰ γὰρ εἴδωλα ταύτης Σωτήρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχύν, πέπτωκεν· οἱ τούτων δὲ ῥυσθέντες, ἐβόων πρὸς τὴν Θεοτόκον·

Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων· χαῖρε, κατάπτωσις τῶν δαιμόνων.

Χαῖρε, τῆς ἀπάτης τὴν πλάνην πατήσασα· χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα.

Χαῖρε, θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν· χαῖρε, πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν.

Χαῖρε, πύρινε στῦλε, ὁδηγῶν τοὺς ἐν σκότει· χαῖρε, σκέπη τοῦ κόσμου, πλατυτέρα νεφέλης.

Χαῖρε, τροφὴ τοῦ μάννα διάδοχε· χαῖρε, τρυφῆς ἁγίας διάκονε.

Χαῖρε, ἡ γῆ τῆς ἐπαγγελίας· χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Μέλλοντος Συμεῶνος, τοῦ παρόντος αἰῶνος, μεθίστασθαι τοῦ ἀπατεῶνος, ἐπεδόθης ὡς βρέφος αὐτῷ, ἀλλ᾽ἐγνώσθης τούτῳ καὶ Θεὸς τέλειος· διό περ ἐξεπλάγη, σοῦ τὴν ἄῤῥητον σοφίαν, κράζων·

Ἀλληλούϊα.

Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ Κτίστης, ἡμῖν τοῖς ὑπ᾽ αὐτοῦ γενομένοις· ἐξ ἀσπόρου βλαστήσας γαστρός, καὶ φυλάξας ταύτην, ὥσπερ ἦν, ἄφθορον· ἵνα τὸ θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτήν, βοῶντες·

Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας· χαῖρε, τὸ στέφος τῆς ἐγκρατείας.

Χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα· χαῖρε, τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα.

Χαῖρε, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί· χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ᾽ οὗ σκέπονται πολλοί.

Χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις· χαῖρε, ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις.

Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις· χαῖρε, πολλῶν πταιόντων συγχώρησις.

Χαῖρε, στολὴ τῶν γυμνῶν παῤῥησίας· χαῖρε, στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες· διὰ τοῦτο γὰρ ὑψηλὸς Θεός, ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος, τοὺς αὐτῷ βοῶντας·

Ἀλληλούϊα.

Ὅλος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδόλως ἀπῆν, ὁ ἀπερίγραπτος Λόγος· συγκατάβασις γὰρ θεϊκή, οὐ μετάβασις δὲ τοπικὴ γέγονε· καὶ τόκος ἐκ Παρθένου θεολήπτου, ἀκουούσης ταῦτα·

Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα· χαῖρε, σεπτοῦ μυστηρίου θύρα.

Χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα· χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα.

Χαῖρε, ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβείμ· χαῖρε, οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφείμ.

Χαῖρε, ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα· χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα.

Χαῖρε, δι᾽ ἧς ἐλύθη παράβασις! χαῖρε δι᾽ ἧς ἠνοίχθη Παράδεισος.

Χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ Βασιλείας· χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Πᾶσα φύσις Ἀγγέλων, κατεπλάγη τὸ μέγα, τῆς σῆς ἐνανθρωπήσεως ἔργον· τὸν ἀπρόσιτον γὰρ ὡς Θεόν, ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον· ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως·

Ἀλληλούϊα.

Ρήτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους, ὁρῶμεν ἐπὶ σοὶ Θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τό, πῶς καὶ Παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας·ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν·

Χαῖρε, σοφίας Θεοῦ δοχεῖον· χαῖρε, προνοίας αὐτοῦ ταμεῖον.

Χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα· χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα.

Χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί· χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί.

Χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα· χαῖρε, τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα.

Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα· χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα.

Χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι· χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν κόσμον, ὁ τῶν ὅλων Κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε· καὶ ποιμὴν ὑπάρχων ὡς Θεός, δι᾽ ἡμᾶς ἐφάνη καθ᾽ ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει·

Ἀλληλούϊα.

Τεῖχος εἶ τῶν παρθένων, Θεοτόκε Παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων· ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, κατεσκεύασέ σε Ποιητὴς Ἄχραντε, οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας σοι προσφωνεῖν διδάξας·

Χαῖρε, ἡ στήλη τῆς παρθενίας· χαῖρε, ἡ πύλη τῆς σωτηρίας.

Χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως· χαῖρε, χορηγὲ θεϊκῆς ἀγαθότητος.

Χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς· χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν.

Χαῖρε, ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα· χαῖρε, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα.

Χαῖρε, παστὰς ἀσπόρου νυμφεύσεως· χαῖρε, πιστοὺς Κυρίῳ ἁρμόζουσα.

Χαῖρε, καλὴ κουροτρόφε παρθένων· χαῖρε, ψυχῶν νυμφοστόλε Ἁγίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδάς, ἂν προσφέρωμέν σοι, Βασιλεῦ ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν, τοῖς σοὶ βοῶσιν·

Ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν ἁγίαν Παρθένον· τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας, αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα·

Χαῖρε, ἀκτὶς νοητοῦ Ἡλίου· χαῖρε, βολὶς τοῦ ἀδύτου φέγγους.

Χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα· χαῖρε, ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα.

Χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν· χαῖρε, ὅτι τὸν πολύῤῥητον ἀναβλύζεις ποταμόν.

Χαῖρε, τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον· χαῖρε, τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον.

Χαῖρε, λουτὴρ ἐκπλύνων συνείδησιν· χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν.

Χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας· χαῖρε, ζωὴ μυστικῆς εὐωχίας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ὁ πάντων χρεωλύτης ἀνθρώπων, ἐπεδήμησε δι᾽ ἑαυτοῦ, πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦχάριτος· καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως·

Ἀλληλούϊα.

Ψάλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες, ὡς ἔμψυχον ναὸν Θεοτόκε· ἐν τῇ σῇ γὰρ

οἰκήσας γαστρί, ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας·

Χαῖρε, σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου· χαῖρε, Ἁγία Ἁγίων μείζων.

Χαῖρε, Κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι· χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε.

Χαῖρε, τίμιον διάδημα βασιλέων εὐσεβῶν· χαῖρε, καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν.

Χαῖρε, τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος· χαῖρε, τῆς βασιλείας τὸ ἀπόρθητον τεῖχος.

Χαῖρε, δι᾽ ἧς ἐγείρονται τρόπαια· χαῖρε, δι᾽ ἧς ἐχθροὶ καταπίπτουσι.

Χαῖρε, χρωτὸς τοῦ ἐμοῦ θεραπεία· χαῖρε, ψυχῆς τῆς ἐμῆς σωτηρία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων Ἁγίων ἁγιώτατον Λόγον (ἐκ γ΄)· δεξαμένη τὴν νῦν προσφοράν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας· καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως, τοὺς σοὶ βοῶντας·

Ἀλληλούϊα.

Ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,
Ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια,
Ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε.
Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,
Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
Ἵνα κράζω σοι· Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ἦχος γ΄.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε, ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι. Διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

ΤΟ ΠΡΟΣΕΥΧΗΤΑΡΙΟΝ

ἤτοι

ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΡΙΑΔΑ
ΔΙΑ ΠΑΣΑΝ ΛΟΙΜΙΚΗΝ ΝΟΣΟΝ

Ο ΜΙΚΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ
ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΕΞΕΔΟΘΗ ΠΡΟΝΟΙᾸ
ΤΟΥ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ
ΠΕΤΡΑΣ ΚΑΙ ΧΕΡΡΟΝΗΣΟΥ Κ. ΓΕΡΑΣΙΜΟΥ

ΣΕΛΙΔΟΠΟΙΗΘΗΚΕ, ΤΥΠΩΘΗΚΕ ΚΑΙ
ΒΙΒΛΙΟΔΕΤΗΘΗΚΕ ΣΤΗΝ ΤΥΠΟΚΡΕΤΑ Α.Ε.
ΣΤΟ ΗΡΑΚΛΕΙΟ ΚΡΗΤΗΣ
ΤΟΝ ΙΑΝΟΥΑΡΙΟ ΤΟΥ 2021
ΣΕ ΧΑΡΤΙ CHAMOIS 100 ΓΡ.
ΣΕ 3.000 ΑΝΤΙΤΥΠΑ

ΓΙΑ ΛΟΓΑΡΙΑΣΜΟ

ΤΗΣ ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ
ΠΕΤΡΑΣ ΚΑΙ ΧΕΡΡΟΝΗΣΟΥ

Τό παρόν ἔντυπο εἶναι ἔκδοση
τοῦ Ἐπίσημου Δελτίου τῆς Ἐκκλησίας Κρήτης
«Ἀπόστολος Τίτος» καί διατίθεται δωρεάν.

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΠΕΤΡΑΣ & ΧΕΡΡΟΝΗΣΟΥ